eul_wid: tyc-bw

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# On the Divine Water

*Περὶ τοῦ θείου ὕδατος*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 Περὶ τοῦ θείου ὕδατος Τοῦτό ἐστι τὸ θεῖον καὶ μέγα μυστήριον, τὸ ζητούμενον· τοῦτο γάρ ἐστι τὸ πᾶν. Δύο φύσεις, μία οὐσία· ἡ γὰρ μία τὴν μίαν ἕλκει καὶ ἡ μία τὴν μίαν κρατεῖ. Τοῦτο τὸ ἀργύρειον ὕδωρ, τὸ ἀρσενόθηλυ, τὸ φεῦγον ἀεί, τὸ ἐπειγόμενον εἰς τὰ ἴδια, τὸ θεῖον ὕδωρ, ὃ πάντες ἠγνοήκασιν, οὗ ἡ φύσις δυσθεώρητος. Οὔτε γὰρ μέταλλόν ἐστιν, οὔτε ὕδωρ ἀεὶ κινητόν, οὔτε σῶμα, οὐ γὰρ κρατεῖται. Τοῦτό ἐστι τὸ πᾶν ἐν πᾶσι· καὶ γὰρ ζωὴν ἔχει καὶ πνεῦμα, καὶ ἀναιρετικόν ἐστιν. Τοῦτο ὁ νοῶν καὶ χρυσὸν καὶ ἄργυρον ἔχει. Ἡ μὲν δύναμις κέκρυπται, ἀνάκειται δὲ τῷ Ἐρωτύλῳ.